κον ἐν γῇ Αἰγύπτῳ ἀπὸ πρωτοτόκου Φαραω, ὃς κάθηται ἐπὶ τοῦ
θρόνου, καὶ ἕως πρωτοτόκου τῆς θεραπαίνης τῆς παρὰ τὸν μύ-
6 λον καὶ ἕως πρωτοτόκου παντὸς κτήνους, [6]καὶ ἔσται κραυγὴ με-
γάλη κατὰ πᾶσαν γῆν Αἰγύπτου, ἥτις τοιαύτη οὐ γέγονεν καὶ τοι-
7 αύτη οὐκέτι προστεθήσεται. [7]καὶ ἐν πᾶσι τοῖς υἱοῖς Ισραηλ οὐ
γρύξει κύων τῇ γλώσσῃ αὐτοῦ ἀπὸ ἀνθρώπου ἕως κτήνους, ὅπως
εἰδῇς ὅσα παραδοξάσει κύριος ἀνὰ μέσον τῶν Αἰγυπτίων καὶ τοῦ
8 Ισραηλ. [8]καὶ καταβήσονται πάντες οἱ παῖδές σου οὗτοι πρός με
καὶ προκυνήσουσίν με λέγοντες Ἔξελθε σὺ καὶ πᾶς ὁ λαός σου,
οὗ σὺ ἀφηγῇ· καὶ μετὰ ταῦτα ἐξελεύσομαι. ἐξῆλθεν δὲ Μωυσῆς
9 ἀπὸ Φαραω μετὰ θυμοῦ. [9]εἶπεν δὲ κύριος πρὸς Μωυσῆν Οὐκ εἰσ-
ακούσεται ὑμῶν Φαραω, ἵνα πληθύνων πληθύνω μου τὰ σημεῖα
10 καὶ τὰ τέρατα ἐν γῇ Αἰγύπτῳ. [10]Μωυσῆς δὲ καὶ Ααρων ἐποίησαν
πάντα τὰ σημεῖα καὶ τὰ τέρατα ταῦτα ἐν γῇ Αἰγύπτῳ ἐναντίον
Φαραω· ἐσκλήρυνεν δὲ κύριος τὴν καρδίαν Φαραω, καὶ οὐκ ἠθέ-
λησεν ἐξαποστεῖλαι τοὺς υἱοὺς Ισραηλ ἐκ γῆς Αἰγύπτου.
12 [1]Εἶπεν δὲ κύριος πρὸς Μωυσῆν καὶ Ααρων ἐν γῇ Αἰγύπτου
2 λέγων [2]Ὁ μὴν οὗτος ὑμῖν ἀρχὴ μηνῶν, πρῶτός ἐστιν ὑμῖν ἐν
3 τοῖς μησὶν τοῦ ἐνιαυτοῦ. [3]λάλησον πρὸς πᾶσαν συναγωγὴν υἱῶν
Ισραηλ λέγων Τῇ δεκάτῃ τοῦ μηνὸς τούτου λαβέτωσαν ἕκαστος
4 πρόβατον κατ᾽ οἴκους πατριῶν, ἕκαστος πρόβατον κατ᾽ οἰκίαν. [4]ἐὰν
δὲ ὀλιγοστοὶ ὦσιν οἱ ἐν τῇ οἰκίᾳ ὥστε μὴ ἱκανοὺς εἶναι εἰς πρό-
βατον, συλλήμψεται μεθ᾽ ἑαυτοῦ τὸν γείτονα τὸν πλησίον αὐτοῦ
κατὰ ἀριθμὸν ψυχῶν· ἕκαστος τὸ ἀρκοῦν αὐτῷ συναριθμήσεται
5 εἰς πρόβατον. [5]πρόβατον τέλειον ἄρσεν ἐνιαύσιον ἔσται ὑμῖν· ἀπὸ
6 τῶν ἀρνῶν καὶ τῶν ἐρίφων λήμψεσθε. [6]καὶ ἔσται ὑμῖν διατετη-
ρημένον ἕως τῆς τεσσαρεσκαιδεκάτης τοῦ μηνὸς τούτου, καὶ σφά-
ξουσιν αὐτὸ πᾶν τὸ πλῆθος συναγωγῆς υἱῶν Ισραηλ πρὸς ἑσπέ-
7 ραν. [7]καὶ λήμψονται ἀπὸ τοῦ αἵματος καὶ θήσουσιν ἐπὶ τῶν δύο
σταθμῶν καὶ ἐπὶ τὴν φλιὰν ἐν τοῖς οἴκοις, ἐν οἷς ἐὰν φάγωσιν
8 αὐτὰ ἐν αὐτοῖς. [8]καὶ φάγονται τὰ κρέα τῇ νυκτὶ ταύτῃ· ὀπτὰ
9 πυρὶ καὶ ἄζυμα ἐπὶ πικρίδων ἔδονται. [9]οὐκ ἔδεσθε ἀπ᾽ αὐτῶν
ὠμὸν οὐδὲ ἡψημένον ἐν ὕδατι, ἀλλ᾽ ἢ ὀπτὰ πυρί, κεφαλὴν σὺν
10 τοῖς ποσὶν καὶ τοῖς ἐνδοσθίοις. [10]οὐκ ἀπολείψετε ἀπ᾽ αὐτοῦ ἕως
πρωὶ καὶ ὀστοῦν οὐ συντρίψετε ἀπ᾽ αὐτοῦ· τὰ δὲ καταλειπόμενα

5 και εως $1^0$] εως του A || 7 και εν] εν δε A | απο — κτηνους > B*† (B^c add. ουδε ante απο) | ειδης M] ιδης BA: cf. 8 6 | παραδοξαζει B | των > A | του] pr. ανα μεσον A (in O sub ※) || 8 πας > B*† || 9 πληθυνων > A | μου / τα σημ.] tr. A | τερατα] + μου A || 10 τα $1^0 \frown 2^0$ A* | ηθελησεν] εισηκουσεν B | γης αιγ.] της γης αυτου A

12 1 αιγυπτω A || 3 εκαστος ult. > A*(uid.) || 4 ικαν. ειναι] tr. B || 5 αρνων] αμνων A || 6 υιων] pr. των A† || 7 αυτα] αυτο A || 10 απολειψεσθε A† | εως $1^0$] εις το A